Ακαδημία Αθηνών / Academy of Athens

Pasinus, Cod. Taurin., I, σελ. 423-424.

# Σωφρόνιος

(Χριστιανουπόλεως) ιϛ' αἰ.

Ὑπό Pasinus περιγράφοντος τόν ὑπ' ἀρ. CCCXXXVI. b. I. 4. κώδ. (ιϛ' αἰ.) ἐκδίδεται μητροπολιτικόν ἔγγραφον ἀπολυθέν «κατά μῆνα Ἰούλιον τῆς ιγ' ἰνδ. τοῦ ζοη' ἔτους» [1570]: «ἐπειδή ὁ πανιερώτατος μητροπολίτης Μονεμβασίας ὑπέρτιμος καί ἔξαρχος πάσης Πελοποννήσου καί τόπον ἔχων τοῦ Σίδης κυρός Μακάριος ἔχων οὐκ ὀλίγην διαφοράν καί διένεξιν μετά τοῦ πανιερωτάτου μητροπολίτου Χριστιανουπόλεως κυροῦ Σωφρονίου, ὅς διακατέχων βούλεται τινάς τῶν ἐπισκοπῶν διαφερουσῶν τῇ ἁγιωτάτῃ μητροπόλει Μονεμβασίας μετά τῶν περί αὐτάς ἐνοριῶν, ἀναδραμών πρός ἡμᾶς συνοδικῶς προκαθημένους, οἷ ἐπιφέρομεν τό τοῦ παναγιωτάτου ἡμῶν κυροῦ Μητροφάνους θεῖον πρόσωπον καί ἄδειαν ἔχομεν τά ἐκκλησιαστικά ὡς οἷόν τε ἐξετάζειν καί ἀνακρίνειν καί ἐπί τήν τοῦ δικαίου τόπου αὐτά ἀποκαθιστᾶν.... ἀποφαινόμεθα..... ἔχειν τήν ρηθεῖσαν ἁγιωτάτην μητρόπολιν Μονεμβασίας, ὅσας δή προκατεῖχεν ἐπισκοπάς ἤγουν τήν τῆς Κυθηρίας, τήν τοῦ Ἕλους, τήν τῆς Μαΐνης, τήν τοῦ Ρέοντος, τήν τῆς Ζεμενᾶς, τήν τῆς Κορώνης, τήν τῆς Μεθώνης, καί τῆς Ἀνδρούσης καί ὑποκεῖσθαι ταύτας τῇ αὐτῇ μητροπόλει Μονεμβασίας ὡς γνήσια μητρο-

./.

πόλει αὐτῶν εἰς τὸ ἑξῆς εἰς ἅπαντα καὶ διηνεκῆ χρόνον. δέχεσθαι τὰ ἐπισκόπους ἐν αὐταῖς, οὓς ἂν ὁ κατὰ καιρὸς εὑρισκόμενος ἀρχιερεὺς Μονεμβασίας ἐκλέξηται καὶ χειροτονήσει καὶ καταστήσει ἐν αὐταῖς. Ἔτι δὲ ἔχειν τὸν κατὰ καιρὸν προϊστάμενον Μονεμβασίας καὶ τἄλλα δὲ προνόμια ὅσα παρέχουσιν αὐτῇ τὰ εἰρημένα χρυσόβουλλα καὶ τὰ πατριαρχικὰ σιγίλλια».

Τὸ ἔγγραφον ὑπογράφουν οἱ:

Μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλ. Ἀναστάσιος ἱερεύς.
Μέγας ἐκκλησιάρχης τῆς μεγάλης ἐκκλησίας
Μέγας ἐκκλησιάρχης τῆς μεγάλης ἐκκλησίας
Ἱέραξ ὁ μέγας λογοθέτης τῆς μεγάλης ἐκκλησίας
Μέγας χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας
Σακελλάριος τῆς μεγάλης ἐκκλησίας
Ὁ μέγας πρωτοπάπας τῆς μεγάλης ἐκκλησίας
Ὁ πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας

Ὁ Χαλκηδόνος Δωρόθεος
Ὁ Λαρίσσης Ἱερεμίας
Ὁ Ναυπάκτου καὶ Ἄρτης Ἰωακείμ
........ Θεόληπτος
Παραθαλασσίου Φίλιππος
Τραπεζοῦντος Μάξιμος μητροπολίτης
Ὁ Μεσημβρίας Ἰγνάτιος
Κερνίτζης Θεοδόσιος
Ὁ Φαναρίου Γρηγόριος
Ὁ Κίτρους Λογγιανός

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ